# TEZAUR LITURGIC

## 15 FEBRUARIE

# CANONUL SF.CUVIOS ANTIM DE LA HIOS I

ATENA,2020


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# ΑΓΙΟΥ ΑΝΘΙΜΟΥ ΧΙΟΥ ΚΑΝΟΝΕΣ 01

Ὁ α΄ κανών, οὗ ἡ ἀκροστιχίς: *Ἀνθίμου μάκαρος τιμῶ λειψάνων μνήμην.*

*ᾨδὴ α΄. Ὡς ἐν ἠπείρῳ.*

Ἀνθηφοροῦσα ἀνέτειλε καὶ φαιδρά, Πάτερ Ἄνθιμε τῶν σῶν θείων λειψάνων ἑόρτιος, μνήμη καὶ εὐφραίνει ἡμᾶς τὰ τέκνα σου, καὶ πᾶν τὸ χριστεπώνυμον πλήρωμα.

Νεοφανέντα ἀστέρα καὶ τηλαυγῆ, ἡ Μονή σου Ἅγιε τὸ πρίν, σὲ κεκτημένη ἠγάλετο, νῦν δὲ σῶν τιμίων λειψάνων ἔχουσα τὴν θήκην, ὥσπερ πλοῦτον ὁμοίως τέρπεται.

Θεομακάριστε Πάτερ ἐν οὐρανοῖς, πνεῦμά σου τὸ θεῖον ἐν σκηναῖς τῶν μακαρίων εὐφραίνεται, τὸ δὲ σεπτόν σου λείψανον τεθησαύρισται ἐν τῇ ἱδρυθείσῃ παρὰ σοῦ Μονῇ πανόλβιε.

*Θεοτοκίον.*

Ἵλαθι Κόρη φιλάγαθε καὶ Θεόν, τὸν Υἱόν Σου Ἄχραντε σεμνή, μὴ διαλίπῃς πρεσβεύουσα, ἵνα ἡμῖν πέμψῃ τὸ θεῖον ἔλεος, συμπρσβευτὴν λαβοῦσα, τὸν θεῖον Ἄνθιμον.

*ᾨδὴ γ΄. Οὐκ ἔστιν Ἅγιος.*

Μοναζουσῶν ἡ χαρμονή, Ἄνθιμε θεοφόρε, μοναστῶν ποδηγέτης, τῶν ἱερέων κανών, καὶ τῶν πιστῶν στηριγμός, ὤφθης Πάτερ ἀξιομακάριστε.

Ὄντως ὁρᾶσα ὥσπερ ζῶν, ἐν τῇ λάρνακι Πάτερ, ἡ γὰρ θεία σου Κάρα πλουτεῖ, σημεῖα ζωῆς, ἐκ τῆς τοῦ Πλάστου χειρός, τιμηθεῖσα, ὅθεν σε γεραίρομεν.

Ὕπνωσας Πάτερ ἐν Χριστῷ, οὐ σὺ τέθνηκας ὅλως, καὶ ὁρᾶσαι καθ’ ὕπνους συνομιλῶν, ὥσπερ ζῶν, εἰς τὸν αἰῶνα, καὶ γὰρ ζῶσιν ἀληθῶς οἱ δίκαιοι.

*Θεοτοκίον.*

Μόνην συστήσας ἱεράν, Ἄνθιμος ὁ θεόφρων, καὶ αὐτὴν ἀναθέσας τῇ Μητρὶ τῇ τοῦ Θεοῦ, μετέστη εἰς οὐρανούς, ἐποπτεύων ταύτην ὡς Πατὴρ φιλόστοργος.

*ᾨδὴ δ΄. Χριστός μου δύναμις.*

Ἁγνείας θειότατος βλαστός, ἐξήνθησεν ἐκ τοῦ τάφου τῇ σῇ ἀνακομιδῇ, καὶ πάντας κατηύφρανε, μυστικαῖς εὐωδίαις, Πάτερ Ἄνθιμε.

Κυρία καὶ εὔσημος ὄντως ἀνέτειλεν, ἡ ἑόρτιος ἡμέρα, πάντας ἡμᾶς Πάτερ ἁγιάζουσα, τῇ εὐλογίᾳ τῶν αὐτῶν σου λειψάνων θεοδόξαστε.

Ἀγάλλεται σήμερον Πάτερ πανάριστε, καὶ σκιρτᾷ δὲ τῷ πνεύματι εὐσεβῶς, πᾶσα ἡ ὁμήγυρις τῶν φιλεόρτων, σὺν ταῖς σαῖς μοναζούσαις ἐν τῇ μνήμῃ σου.

*Θεοτοκίον.*

Ῥωσθεὶς τῇ δυνάμει Σου ὁ θεῖος Ἄνθιμος, ἀνδρικῶς ἠγωνίσθη καὶ νικητής, ὤφθη τῇ Παρθένῳ γάρ, Μονὴν ἤγειρε λαμπράν, εἰς παρθένων θείαν οἴκησιν.

*Ὠδὴ ε΄. Τῷ θείῳ φέγγει Σου ἀγαθέ.*

Ὁσίως ἤσκησας ἐπὶ γῆς, καὶ ἐν οὐρανῷ μετατεθείς, σὺν τοῖς Ἁγίοις εὐφραίνεσαι, τὸ δὲ τίμιόν σου λείψανον νῦν, ὡς ἄνθος τερπνόν, ἐκ τάφου θεῖε Πάτερ, σήμερον ἤνθησε.

Σταυρὸν ἐπ' ὤμων ἀναλαβών, διὰ στενωτάτης ἀγωγῆς καὶ πειρασμῶν τε καὶ θλίψεων, νῦν ἐν οὐρανίοις ἀγάλλῃ Ὅσιε, ὑπὲρ ἡμῶν ἀπαύστως ἀεὶ δεόμενος.

Τῇ θείᾳ λάρνακι ὡς πηγῇ, τῶν μονάζουσῶν δεῦτε χορός, περικυκλοῦσι νῦν κράξωμεν· Πάτερ εὐσυμπάθητε ταῖς πρεσβείαις σου, ἐξ ὕψους ἡμῖν, κατάπεμψον τὴν δρόσον τῆς εὐλογίας σου.

*Θεοτοκίον.*

Ἴασαι Δέσποινα, τὰ ἡμῶν πάθη καὶ δεινῶν ἀπαλλαγήν, ταύτῃ τῇ ποίμνῃ νῦν δώρησαι, Σὲ γὰρ κηδεμόνα, φρουρόν, ἰατρόν, ὁ θεῖος ποιμενάρχης ἡμῖν ἀνέθετο.

*Ὠδὴ στ΄. Τοῦ βίου τὴν θάλασσαν.*

Μυρίζουσιν Ὅσιε, ὥσπερ κρῖνα τοῦ ἀγροῦ, ἐν τῇ σεπτῇ σου λάρνακι πανευώδη ὀστέα σου καὶ πιστοί, θερμῶς ἀνακράζουσι· σαῖς εὐχαῖς ἡμᾶς Πάτερ περιφρούρησον.

Ὡς ὄντως ὑπέρτιμος ἡ ἡμέρα καὶ σεπτή, καθ' ἣν ἀναβιβάζεται, ἐκ τοῦ τάφου λειψάνων σου η σορός, ἡ θεια καὶ πάντιμος καταυγάζουσα πάντας θείαις χάρισι.

Λαμπρύνεται τέρπεται, βοηθείας ἡ Μονή, θεῖον ὄλβον κατέχουσα, τῶν λειψάνων σου θήκην τὴν ἱεράν, καὶ χαίρει κραυγάζουσα· σὺ μοῦ κλέος υπάρχεις, Πάτερ Ἅγιε.

*Θεοτοκίον.*

Ἐλπίδα καὶ στήριγμα, καὶ βοήθειαν ἐν γῇ, Ἄνθιμος ὁ θεσπέσιος Σὲ ἐκέκτητο, νῦν δὲ ἐν οὐρανοῖς, πρόσωπον πρὸς πρόσωπον, καθορᾷ Σε Παρθένε ἀγαλλόμενος.

*ᾨδὴ ζ΄. Δροσοβόλον μὲν τὴν κάμινον.*

Ἰατῆρα σὲ γινώσκομεν πανάριστον Ἅγιε, εν τῷ βίῳ παντί, θεραπεύεις γὰρ ψυχὰς καὶ σώματα, τῇ σῇ θερμῇ μεσιτείᾳ πρὸς Θεόν, τοῖς εἰς τὴν θείαν σου σορόν, πίστει προστρέχουσι.

Ψαλμικῶς ὡς φοῖνιξ εὐθαλέστατος Ἄνθιμε ὑπερθαύμαστε, ἐξανθήσας ὡς δίκαιος, δικαίοις συνοικεῖς τῷ Κτίστῃ κραυγάζων σὺν αὐτοῖς· εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ἀρυόμεθα πλουσίως θείας χάριτος, Ἄνθιμε θεοδόξαστε, τῇ Μονῇ σου πόθῳ καταφεύγοντες πιστοί, καὶ θείαν λειψάνων σου σορόν, κατασπαζόμενοι θερμῶς σὲ μακαρίζομεν.

*Θεοτοκίον.*

Νικηφόρος ἀνεδείχθη παμμακάριστε, Ἄνθιμος ἐν ὑστέροις καιροῖς, ἐπὶ Σοὶ γάρ, τὴν ἐλπίδα πᾶσαν ἐσχηκώς, τοὺς πάντας ἐδίδαξε βοᾶν· εὐλογημένη ἡ Θεόν, σαρκὶ κυήσασα.

*Ὠδὴ η΄. Ἐκ φλογός, τοῖς Ὁσίοις.*

Ὥσπερ πρίν, τὴν ταφήν σου Πάτερ ὑπέρτιμε, ἱεράρχης ἀξίως λαμπρῶς ἐτίμησεν, οὕτω καὶ λειψάνων ἡμέραν ἑόρτιον, Ἰάκωβος Λέσβου τιμᾷ, τὸ μέγα κλέος.

Νῦν ἐκ γῆς εὐλογία ἡμῖν ἀνέθαλεν ἐκ τοῦ τόπου σου Πάτερ, ἔνθα κατέκτετο λείψανον σεπτῶν σῶν ὀστέων πανεύφημε, καὶ ἐν εὐλογίαις ἔσται σου τὸ μνημόσυνον.

Μακαρίζει σε Πάτερ ἡ Χίος ἅπασα, ἐν αὐτῇ γὰρ ὁσίως λαμπρῶς διέπρεψας, πάνδημος τιμᾷ τὴν ταφήν σου τὴν πάντιμον καὶ ἐν τριημέρῳ τιμᾷ τὴν ἐκταφήν σου.

*Θεοτοκίον.*

Νοητήν Σε λαμπάδα, καὶ χρυσαυγίζουσαν, φωτοφόρον παστάδα καὶ πορφυρίζουσαν, στάμνον γλυκασμοῦ καὶ ζωῆς ἄρτου τράπεζαν ἔχομέν Σε Κόρη ὑπερευλογημένη.

*Ὠδὴ θ΄. Θεὸν ἀνθρώποις.*

Ἡμέρα εὔσημος καὶ εὐφρόσυνος, αὕτη ἐστὶ σοῖς τέκνοις θεομακάριστε, ἐκ τοῦ τάφου καὶ γὰρ ὡράθης ἡμῖν Ἄνθιμε θεοφόρε, ἄνθος ἡδύτατον καὶ Μονήν σου, τὴν ἁγίαν εὐωδίασας.

Μαρτύρων σύσκηνος καὶ δικαίων πάντων Ἁγίων καὶ Ὁσίων ὁμότροπος, τούτων ἀρεταῖς γὰρ ὤφθης συνόμιλος, ὅθεν εὐταξίως σὺν τούτοις Ὅσιε, χαίρων εἰς αἰῶνα ἐπαγάλλῃ παμμακάριστε.

Ἡμῖν τοῖς τέκνοις σου Πάτερ Ἅγιε, ἐξ οὐρανοῦ κατάπεμψον θεῖον ἔλεος, ἐν σῇ σεπτῇ ἀνακομιδῇ, σὺ γὰρ ἡμῶν τροφεὺς συμπαθής, ζωή, γλυκασμός, ψυχῆς φωτισμός, καὶ ἀγαλλίαμα.

*Θεοτοκίον.*

Νεκρῶν καὶ ζώντων Θεόν, ἡ τέξασα, νεκροποιῶν Παρθένε νοσημάτων ἀντάλλαξον, ἴασιν ψυχῶν καὶ σωμάτων νῦν δώρησαι, πᾶσι τοῖς προσιοῦσι τῇ ἱερᾷ Σου Μονῇ, τοῦ Σοῦ θεράποντος Ἀνθίμου ταῖς δεήσεσι.

